Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Eiusdem Cyrilli homilia Ephesi in Nestorium habita, quando septem ad sanctam Mariam descenderunt.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

*Verbum erat apud Deum.* Sed me pudet, inquis, Deum confiteri eum, qui ex muliere natus eſt. Tu ergo, dic mihi, diuina conſilia reprehendis? tu diſpenſationem reiicis? tu Domini voluntatem arguis? Ad hunc ille modum orbem ſaluum facere voluit. Tune ſapientia ipſa es ſapientior? O rem incredibilem! lucerna cum ſole contendit. Vniuerſorum Dominus operum ſuorum rationem nouit. Amplectere itaque diſpenſationem, honora myſterium in fide, ne curioſe perſcruteris quæ mentem noſtram excedunt: ne nimis anxie ea indages, quæ ratione comprehendi non poſſunt: crede nobiſcum. Quod ſi incredulus permanſeris, *ille fidelis permanet: negare enim ſeipſum non poteſt.* Ipſi ſit gloria & imperium cum ſancto Spiritu in ſæcula. Amen.

2. Tim. 2. v. 13.

ὁ λόγος ἦν πρὸς τὸν θεόν. ἀλλ᾽ ἀπαξιοῦμαι, φησὶ, θεὸν ὁμολογῆσαι τὸν ἐκ γυναικὸς γεγεννημένον. ἐπιτιμᾷς οὖν, εἰπέ μοι, τοῖς θείοις σκέμμασιν; ἀθετεῖς τὴν οἰκονομίαν; ἐπιπλήττεις ταῖς τοῦ δεσπότου βουλαῖς; οὕτως ἠθέλησε διασῶσαι τὴν οἰκουμένην. μὴ σοφώτερος εἶ τῆς σοφίας; ὢ παραδόξου πράγματος! λύχνος ἡλίῳ φιλονεικεῖ. οἶδε τῶν οἰκείων ἔργων τὴν ὁδὸν ὁ τῶν ὅλων δεσπότης. παραδέχου τοίνυν τὴν οἰκονομίαν· τίμησον τῇ πίστει τὸ μυστήριον· μὴ περιεργάζου τὰ ὑπὲρ νοῦν· μὴ πολυπραγμόνει τὰ ὑπὲρ λόγον· πίστευε μεθ᾽ ἡμῶν. εἰ δὲ μένεις ἀπειθής, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας. ἀμήν.

## *Eiuſdem Cyrilli homilia Epheſi in Neſtorium habita, quando ſeptem ad ſanctam Mariam deſcenderunt.*

## Τοῦ αὐτοῦ πρὸς Νεστόριον, ἡνίκα κατῆλθον οἱ ἑπτὰ πρὸς τὴν ἁγίαν Μαρίαν.

SANCTORVM cœtum, qui a ſancta & deipara ſemperque virgine Maria inuitati prompto animo huc confluxerunt, lætum, erectumq; conſpicio. Quare licet multa premerer mœſtitia, attamen hic ſanctorum patrum conſpectus lætitiam mihi præbuit. Nunc dulce illud hymnographi Dauidis verbum apud nos impletum eſt: *Ecce iam quid bonum, aut quid iucundum, niſi habitare fratres in vnum?* Salue itaque a nobis ſancta myſtica trinitas, quæ nos omnes in hanc Mariæ deiparæ eccleſiam conuocaſti. Salue a

Pſal. 132.

ΦΑΙΔΡΟΝ ὁρῶ τὸ σύστημα τῶν ἁγίων πάντων συνεληλυθότων προθύμως, κεκλημένων ὑπὸ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας τῆς ἀειπαρθένου. ἀλλὰ γὰρ ἐν λύπῃ με διάγοντα πολλῇ εἰς χαρὰν μετέβαλεν ἡ τῶν ἁγίων πατέρων παρουσία. νῦν ἐπληρώθη πρὸς ἡμᾶς τὸ τοῦ ὑμνογράφου Δαυὶδ γλυκερὸν ῥῆμα· ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Χαίροις τοίνυν παρ᾽ ἡμῶν ἁγία μυστικὴ τριάς, ἡ τούτους ἡμᾶς πάντας συγκαλεσαμένη ἐπὶ τήνδε τὴν *ἐκκλησίαν τῆς θεοτόκου Μαρίας.

*ναὸν

ANNO CHRISTI 431.

* σεπτὸν

χαίροις παρ' ἡμῶν Μαρία θεοτόκε, τὸ * σεμνὸν κειμήλιον ἁπάσης τῆς οἰκουμένης, ἡ λαμπὰς ἡ ἄσβεστος, ὁ στέφανος τῆς παρθενίας, τὸ σκῆπτρον τῆς ὀρθοδοξίας, ὁ ναὸς ὁ ἀκατάλυτος, τὸ χωρίον τοῦ ἀχωρήτου, ἡ μήτηρ καὶ παρθένος· δι' ἧς ὀνομάζεται ἐν τοῖς ἁγίοις εὐαγγελίοις εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. χαίροις ἡ τὸν ἀχώρητον χωρήσασα ἐν μήτρᾳ ἁγίᾳ παρθενικῇ· δι' ἧς τριὰς * ἁγιάζεται· δι' ἧς σταυρὸς τίμιος ὀνομάζεται, καὶ προσκυνεῖται εἰς πᾶσαν τὴν οἰκουμένην· δι' ἧς ὁ οὐρανὸς ἀγάλλεται· δι' ἧς ἄγγελοι καὶ ἀρχάγγελοι εὐφραίνονται· δι' ἧς δαίμονες φυγαδεύονται· δι' ἧς διάβολος πειράζων ἔπεσεν ἐξ οὐρανοῦ· δι' ἧς τὸ ἐκπεσὸν πλάσμα εἰς οὐρανοὺς ἀναλαμβάνεται· δι' ἧς πᾶσα ἡ κτίσις εἰδωλομανίᾳ κατεχομένη εἰς ἐπίγνωσιν ἀληθείας ἐλήλυθεν· δι' ἧς βάπτισμα ἅγιον γίνεται τοῖς πιστεύουσι· δι' ἧς ἔλαιον ἀγαλλιάσεως· δι' ἧς εἰς πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαι τεθεμελίωνται· δι' ἧς ἔθνη ἄγονται εἰς μετάνοιαν. καὶ τί πολλὰ λέγω; δι' ἧς ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ φῶς ἔλαμψε τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· * δι' ἣν προφῆται προεμήνυσαν· δι' ἧς ἀπόστολοι κηρύττουσι σωτηρίαν τοῖς ἔθνεσι· δι' ἧς νεκροὶ ἐγείρονται· δι' ἧς βασιλεῖς βασιλεύουσι, διὰ τριάδος ἁγίας. καὶ τίς δυνατὸς ἀνθρώπων λέγειν τὴν πολυύμνητον Μαρίαν; ἡ μήτρα ἡ παρθενική. ὢ τοῦ θαύματος. ἐκπλήττει με τὸ θαῦμα. τίς ἤκουσε πώποτε οἰκοδόμον, ναὸν ἴδιον οἰκοδομήσαντα, καὶ κωλυόμενον

* ἁγία δοξάζεται, καὶ προσκυνεῖται.

* δι' ἧς

nobis deipara Maria, venerandus totius orbis theſaurus, lampas inextinguibilis, corona virginitatis, ſceptrum rectæ doctrinæ, templum indiſſolubile, locus eius qui loco capi non poteſt, mater & virgo; per quam is benedictus in ſanctis euangeliis nominatur, qui venit in nomine Domini. *Matth.21. v.9.* Salue, quæ immenſum incomprehenſumque in ſancto virgineo vtero comprehendiſti, per quam ſancta trinitas glorificatur & adoratur; per quam precioſa crux celebratur, & in vniuerſo orbe adoratur; per quam cælum exultat, per quam angeli & archangeli lætantur, per quam dæmones fugantur, per quam tentator diabolus cælo decidit, per quam prolapſa creatura in cælum aſſumitur; per quam vniuerſa creatura, idolorum væſania detenta, ad veritatis agnitionem peruenit: per quam ſanctum baptiſma obtingit credentibus, per quam exultationis oleum, per quam toto terrarum orbe fundatæ ſunt eccleſiæ, per quam gentes adducuntur ad pœnitentiam. Et quid plura dicam? per quam vnigenitus Dei Filius iis qui in tenebris & in vmbra mortis ſedebant, lux reſplenduit; *Luc.1.v.79.* per quam prophetæ prænuntiarunt, per quam apoſtoli ſalutem gentibus prædicarunt, per quam mortui exſuſcitantur, per quam reges regnant, per ſanctam trinitatem. Ecquis hominum laudabiliſſimam Mariam pro dignitate celebrare queat? Vterus virgineus. o rem admirandam! Miraculum hoc me in ſtuporem rapit. Quis vnquam audiuit, ædificatorem prohiberi, ne proprium templum, quod ipſe con-

ſtruxerit, inhabitaret? Quis ob id ignominiæ ſit obnoxius, quod propriam famulam in matrem adſciſcat? Ecce igitur omnia gau-
Pſal.113. dent: mare conſeruos ſuos agnoſcens, ſeſe ſubdidit, ſanctorumque tranſitus ferocium tripudia fluctuum in tranquillitatem conuertit. meminit enim ſerua maris aqua, quamuis tumidi & inſurgentis, vocis Saluatoris dicen-
Marc. 4. v.39. tis: *Tace, obmuteſce.* Terram vero, quam latrones quondam infeſtabant, ſanctorum iter pacatam
Rom. 10. v.15. reddidit. *Quam enim ſpecioſi pedes euangelizantium pacem?* Quã pacem? Dominum noſtrum Ieſum Chriſtum, quem peperit Maria, ſicut ipſe voluit. Quid enim me iuuat circa ſcripturam curioſius inquirere, nec potius eam humane ſuſcipere, & amice ſentire? At memorabis mihi Iudæorum negationem? Prophetæ ab initio illos abdicarũt, nempe quod aſcitæ malitiæ ſtimulis acti, necem Chriſto molituri eſſent: inde illi abnegationem amplexi ſunt. Aut certe tetrum illum Arii morbum? Is peſtilenti deſiderio epiſcopalis cathedræ laborabat. Aut denique obſcurum impiumque laſciuiæ gentilium ſenſum? Ignorantiæ erat iſtud inſtitutum. Ecquid hæc recenſere attinet? Omnem gentem nefariis laſciuiis & diſſolutionibus indulgentem hic ſua malitia exceſſit. Gentes enim plerumque, cum ſcripturas ignorent, Deum incaute imprudenterque blaſphemant: hic autem qui vniuerſam ſcripturam tenet, & magicis quoque illuſionibus fortaſſe (auſim dicere) operam nauauit, diuinam ſcripturam non ſincere inſpexit; inſpexit autem argentum & aurum. Væſania circa blaſphemiæ negotium excæ-

οἰκεῖν ἐν αὐτῷ; τίς ἰδίαν δούλην μητέρα προσκαλεσάμενος ὀνειδίζεται; ἰδοὺ τοίνυν χαίρει τὰ σύμπαντα· θάλαττα δὲ ὑπετάγη, τοὺς ἰδίους συνδούλους ἐπιγνοῦσα, καὶ σκιρτώντων κυμάτων ἀγρίων ἡ τῶν ἁγίων ἐπίβασις εἰς γαλήνην μετέβαλεν. ἐμέμνητο γὰρ τῆς τοῦ σωτῆρος φωνῆς ἡ δούλη ἐπανισταμένη, λέγοντος· σιώπα, πεφίμωσο. γαῖαν δὲ, τὴν ποτε ὑπὸ λῃστῶν διοδευομένην, ἡ τῶν πατέρων ὁδοιπορία εἰς εἰρήνην μετέβαλεν. ὡς ὡραῖοι γὰρ οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην. ποίαν εἰρήνην; Ἰησοῦν τὸν κύριον ἡμῶν, ὃν ἔτεκε Μαρία, ὡς αὐτὸς ἠθέλησε. τί μοι γὰρ πολυπραγμονεῖν, καὶ μὴ φιλοφρονεῖν περὶ τὴν γραφήν; ἀλλ' ἐρεῖς μοι Ἰουδαίων τὴν ἄρνησιν; οἱ προφῆται τούτους ἀπεκήρυξαν ἐξ ἀρχῆς, ὅθεν τὸ χριστοκτονεῖν ἐπιτηδεύσαντας, *ἄρνησιν προσεκαλέσαντο. ἀλλὰ Ἀρείου τὸ πικρὸν *νόσημα; φιλοκαθεδρίας λοιμικῆς τὸ ἐπιθύμημα. ἀλλ' ἑλληνικῆς ἀσελγείας τὸ ἀνώνυμον καὶ ἄθεον φρόνημα; ἀγνωσίας τὸ ἐπιτήδευμα. καὶ τί δεῖ λέγειν; πᾶν ἔθνος πορνευόμενον ἀθεμίτοις κώμοις οὗτος τῇ κακίᾳ ὑπερῆρεν. ἔθνη γὰρ πολλάκις ἀγνοοῦντα τὴν γραφὴν, θεὸν δυσφημοῦσιν οὐχ ἑκόντα· οὗτος δὲ γραφὴν ἅπασαν κεκτημένος· τολμῶ δὲ λέγειν, τάχα καὶ μαγικῆς ἐμπαίγματα μελετήσας, οὐκ ἐνέκυψε γνησίως πρὸς τὴν θεόπνευστον γραφὴν, ἀλλ' ἐνέκυψεν εἰς ἄργυρον καὶ χρυσόν. τυφλωθεὶς, καὶ κεπφωθεὶς τῇ μανίᾳ περὶ πρᾶγμα δυσφη-

ANNO CHRISTI 431.

μίας, σεαυτὸν βουλόμενος ἀλλοτριῶσαι τοῦ θρόνου, καὶ τοῦ καταλόγου τῶν ἀδελφῶν σεαυτὸν ἐξήλειψας, μὴ ἐπιγνοὺς τόν σοι χαρισάμενον * ἀρχιερέως κλῆρον. ἄρα γὰρ οὐκ ἐπείσθης Παύλῳ λέγοντι· κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω; Παῦλος οὐκ ἔπαυσέ σου τὸ κενὸν φρόνημα· ἀλλ' Ησαΐας εἰπών· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ θεός; *οὐδ' αὐτὸς, διάνοιαν γὰρ ἐκτήσω δεινῆς κακοφροσύνης· ἄκουσον κἂν τῶν δαιμόνων λεγόντων· τί ἡμῖν καὶ σοι υἱὲ τοῦ θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. τίς δέ σοι τοῦτον τὸν εὐτελῆ λογισμὸν συνεβούλευσε κηρύξαι; τίς ὁ συμπονήσας τῷ ἀκαίρῳ νοσήματι; οὐκ ἠδέσθης θεὸν * ἐξομοιῶν Περσικῇ βασιλείᾳ; οὐκ ἐνετράπης ἀθετεῖν βουλόμενος πατέρων, καὶ εὐαγγελιστῶν, καὶ προφητῶν παραδόσεις; καὶ νομίσας ἄρχειν πασῶν τῶν ἐκκλησιῶν, οὐκ ἐμνήσθης τοῦ ἀπὸ κοπρίας εἰς ὕψος οὐράνιον ἀγαγόντος σε. καὶ τοῖς ἔργοις προσέχων, οὐκ ἐπέγνως τὸν δημιουργὸν, βουλόμενος ἀνάστατον καταστῆσαι τὴν οἰκουμένην ἀπατηλοῖς * λογισμοῖς, ἐνυβρίζων ναὸν θεοῦ, καὶ τὸν κυηθέντα ἐκ παρθένου Μαρίας ἀπομερίζειν βουλόμενος, δόγμα πονηρὸν, καὶ λύσσαν τῷ κόσμῳ διεγείρων, μήτε λυομένην, μήτε φανερουμένην. ἀλλά γε μὴ ζητούμενος, πρὸ καιροῦ Βελίαλ μιμησάμενος, ἐνόμισας σειραῖς τῶν σῶν ἀνόμων ἐννοιῶν πείθειν βασι-

*ἀρχιερωσύνης

*ἴσως, εἰ δὲ οὐδ' αὐτός,

*ἐξομοιοῦν

*λόγοις ἐφυβρίζων

catus & infatuatus, teipſum abalienare volens ab epiſcopali ſede, etiam e fratrum catalogo te deleuiſti, illum qui pontificatus ſortem tibi impertitus fuerat, non agnoſcens. An non tibi perſuaſit Paulus dicens: *Licet angelus de cælo euangelizauerit præterquam quod euangelizauimus, anathema ſit?* Paulus iſtam ſententiæ tuæ vanitatem non ſedauit? At ſedet illam Iſaias: *Ecce,* inquiens, *virgo in vtero habebit, & pariet filium, & vocabunt nomen eius Emmanuel; quod eſt interpretatum, Nobiſcum Deus.* Quod ſi nec iſte, (mens enim tua graui malitia laborat,) audi vel dæmones clamantes: *Quid,* inquiunt, *nobis & tibi Fili Dei? veniſti ante tempus torquere nos.* Quis quæſo auctor tibi extitit, vt cogitationem hanc vilem & inanem prædicares? Quis tecum in hoc inepto morbo laborauit? Non veritus es Deum Perſico regno aſſimilare? Non te puduit velle patrum, euangeliſtarum, & prophetarum traditiones euertere? Ratus te omnibus eccleſiis dominari, eius qui te e ſtercore ad cæleſtem ſublimitatem euexit, non meminiſti: rebuſque procreatis intendens, opificem non agnouiſti, terrarum orbem ſubuertere volens fraudulentis ſermonibus, contumeliam Dei templo inferens, & eum qui ex Maria virgine genitus eſt, diuidere volens, dogma prauum, & rabiem, quæ nec diſſoluitur, nec manifeſtatur, mundo huic excitaſti. Sed nec requiſitus, Belial ante tempus imitatus, arbitratus es iniquarum cogitationum tuarum catenis te perſuaſurum impera-

Gal. 1. v. 8.

Matth. 1. v. 23. ex Iſ. 7

Matth. 8. v. 29.

tori, rectæ doctrinæ ſtudioſo, & conſubſtantialis adoratori trinitatis, per quam conſtanter regnat, per quam hoſtiles gentes conterit, per quam ſemper virginum chorus imperat, per quam mundũ in pace moderatur. Hunc te putaſti deceptoriis ſermonibus tuis apoſtatam redditurum: populum quoq; Deo dilectum perdere voluiſti: patrumque multitudinem, qui in reſpiratione degebant, tu diſpoliaſti. Non fuiſti contentus teipſum, dum Deum blaſphemas, perdidiſſe; ſed blaſphemias tuas per vniuerſum quoq; orbem diuulgaſti. Sed ecce
Pſ. 9. v. 17. impletum in te etiam illud eſt: *In operibus manuum ſuarum comprehenſus eſt peccator.* Sanctum presbyterorum ac diaconorum clerum, quod importunam inſaniam tuam redarguerent, & ne cum Ario ſentires admonerent, extra eccleſiam eiecisti. Et nunc equidem te prolapſum non deiicio, neque fluctuantem demergo; ſed væſanam iniquorum conſiliorũ ſycophantiam frango. Quis nauem in ſereno ac tranquillo portu conſtitutam, naufragium vidit perpeti? Quis, quæſo, athletam ad locum certaminis prolapſum, erigi non vidit? At cum circa fidem rueres, naufragiumque faceres, nonne manum tibi porreximus? Teſtem accipe honorandum & ſanctum archiepiſcopum magnæ Romæ Cæleſtinum, qui te per literas continenter admonuit, vt a vano hoc atque inutili, & nulla ratione nixo dogmate abſtineres. Pari modo teſtem accipe noſtram quoque tenuitatem, breuibus literis hortatam, vt nos de Deo loquentes audires. Tu vero duritiam quamdam, ſtultitiamque in-

λέα φίλον ὀρθοδοξίας, καὶ προσκυνητὴν ὁμοουσίου τριάδος, δι' ἧς διηνεκῶς βασιλεύει, δι' ἧς ἔθνη τὰ πολέμια συντρίβει, δι' ἧς χορὸς ἀειπαρθένων βασιλεύει, δι' ἧς κόσμος ἐν εἰρήνῃ καθίστησι· τοῦτον λόγοις σοῖς ἀπατηλοῖς ἐνόμισας ἀποστάτην γενέσθαι· καὶ λαὸν θεοφιλῆ πορθεῖν ἐβουλήθης· καὶ πατέρων πλῆθος, εἰς ἀναπνοὴν τυγχάνοντας, *διέσκυλας. οὐκ ἠρκέσθης σεαυτὸν ὀλέσαι, δυσφημήσας θεὸν, ἀλλὰ καὶ τὴν οἰκουμένην πᾶσαν διεθρύλλησας. ἀλλ' ἰδοὺ ἐπληρώθη καὶ * ἐν σοί· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. κλῆρον ἅγιον πρεσβυτέρων καὶ διακόνων ἀποσυναγώγους ἐποίησας, ἐλέγχοντάς σου τὴν ἄκαιρον μανίαν, μή τε Ἀρείου φρονεῖν. καὶ νῦν οὐ τὸν πεσόντα καταβάλλω, οὐδὲ τὸν κλυδωνιζόμενον καταποντίζω· ἀλλὰ τῶν ἀνόμων *συμβουλιῶν κόπτω τὴν ματαίαν συκοφαντίαν. τίς οἶδε πλοῖον, εἰς εὔδιον λιμένα ἐν γαλήνῃ διάγον, ναυάγιον ὑπομένον; τίς οἶδεν ἀθλητὴν ἐπὶ τὸ σκάμμα πεσόντα, καὶ μὴ ἀνορθούμενον; ἀλλὰ * ἄρα, σοῦ πεσόντος, ἢ ναυαγήσαντος περὶ τὴν πίστιν, ἡμεῖς χεῖρα οὐκ ὠρέξαμεν; μάρτυρα δέξαι τὸν τίμιον καὶ ἅγιον ἀρχιεπίσκοπον τῆς μεγάλης Ῥώμης Κελεστῖνον, συνεχῶς γράφοντά σοι, ἀποστῆναι τοῦ ματαίου, καὶ ἀνωφελοῦς, καὶ ἀσυστάτου δόγματος· ἔτι μὴν καὶ τὴν ἡμετέραν πτωχείαν, διὰ γραμμάτων βραχέων τὸν αὐτὸν τρόπον παρακαλοῦντας, δέξασθαι ἡμᾶς λέγοντας περὶ θεοῦ. σὺ δὲ οὐκ ἐλογίσω ἡμᾶς, ἀσπλαγχνίαν τινὰ,

Anno Christi 431.

* [illegible]
* [illegible]
* [illegible]
* [illegible]

ANNO CHRISTI 431. καὶ ἀπόνοιαν περιβεβλημένος, καυχώμενος ἐγκαυχώμενος, ὡς δυνατὸς, ἀνόμα διαλογιζόμενος· καὶ ξυρὸν γέγονας κατὰ σεαυτοῦ ἐξηκονημένον, *μέλλον ἐργάζεσθαι δόλον. διὰ τοῦτο ὁ θεὸς, ὃν παρελογίσω, καθεῖλέ σε, καὶ ἐξέπλε τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων, διότι οὐκ ἐφρόνησας περὶ θεοῦ. καὶ ταῦτα μὲν παρ' ἡμῶν ἀρκείτω τὰ πρὸς τοῦτον. θεὸς ἐστὶ κριτὴς καὶ ἀποδότης ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. γένοιτο δὲ ἡμᾶς τρέμειν καὶ προσκυνεῖν τὴν ἑνότητα, καὶ βασιλεῖ θεοφιλεστάτω ὑπηκόοις γίνεσθαι, καὶ ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, καὶ τρέμειν καὶ σέβειν τὴν ἀδιάστατον τριάδα· ὑμνοῦντας τὴν ἀειπαρθένον Μαρίαν, δηλονότι, *τὴν ἁγίαν ἐκκλησίαν, καὶ τὸν ταύτης υἱὸν, τὸν νυμφίον ἄσπιλον· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

*μέλλων

dutus, nullam noſtri habuiſti rationem, glorians in malitia, tamquam potens, & iniqua cogitans. *Pſal. 51.* Et factus es nouacula contra teipſum acuta, dolum machinans. Quare Deus quoque, aduerſus quem cauillis es vſus, te deiecit, tuamque radicem e terra viuentium euulſit, propterea quod nullam Dei rationem habuiſti. Et hæc hactenus a nobis dicta contra iſtum ſint ſatis. Iudex eſt Deus, & *Rom. 2. v. 6.* vnicuique reddet iuxta opera ſua. Contingat autem nobis, vt vnionem reuereamur & adoremus, piiſſimoque imperatori obediamus, principibuſque & poteſtatibus ſubiiciamur, ac indiuiſam trinitatem tremamus & colamus, Mariam ſemper virginem,* ſanctum videlicet (Dei) templum, eiuſdemque Filium, & ſponſum immaculatum laudibus celebrantes. Quoniam ipſi gloria in ſæcula ſæculorum. Amen.

---

## ΤΑ ΠΡΑΚΤΙΚΑ ΤΟΥ ΑΠΟΣΤΑΤΙΚΟΥ ΣΥΝΕΔΡΙΟΥ.

## ACTA CONCILIABVLI.

* πραχθέντα ἐν Ἐφέσῳ παρὰ τῶν ἀνατολικῶν ἐπισκόπων, ἐν οἷς Κύριλλον καὶ Μέμνονα καθαιρέσι ὑπὸ Σάλλυσιν, ἐπὶ παρουσίᾳ Κανδιδιανοῦ.

Ὑπομνήματα * παρὰ τοῖς ἀνατολικοῖς ἐπισκόποις, ἐν οἷς καθαιροῦσι Κύριλλον καὶ Μέμνονα τοὺς ἁγιωτάτους, καὶ ἀκοινωνήτους ποιοῦσι πάντας τοὺς τῆς ἁγίας συνόδου.

*Commentarii geſtorum apud orientales epiſcopos, in quibus ſanctiſſimos Cyrillũ ac Memnonem deponunt, & omnes qui ad ſanctam Synodum cõuenerant, excommunicant.*

ΠΑΡΟΝΤΟΣ ἐν τῷ οἰκείῳ καταγωγίῳ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου Ἰωάννου τοῦ ἐπισκόπου τῆς Ἀντιοχέων μητροπόλεως τῆς ἀνατολικῆς διοικήσεως, καὶ τῆς σὺν αὐτῷ ἁγίας συνόδου, ὁ μεγαλοπρε-

IOANNE ſanctiſſimo, Deoque amabiliſſimo epiſcopo metropolis Antiochiæ, orientis diœceſis, in ſuo diuerſorio manente, ſanctaque illius Synodo præſente,